H En Athnais Archaiologik Hetaireia [Editor]: Praktika ts en Athnais Archaiologiks Hetaireias
1920 Seite 173



*Επιστολὴ εὐχαριστήριος τοῦ ἐν Βερολίνῳ Καθηγητοῦ κ.*
*Ulrich von Wilamowitz—Moellendorff.*
*Πρὸς τὴν 'Αρχαιολογικὴν ἑταιρείαν.*

*U. von Wilamowitz—Moellendorff.* *Westend—Berlin*
Eichenallee 12.
16 VIII 20.

Ἡ Ἀρχαιολογικὴ ἑταιρεία ἐξόχως μ' ἐτίμησεν δωρήσασα καὶ τὰ Πρακτικὰ τοῦ 1914 καὶ τοὺς τόμους τῆς Ἐφημερίδος 1916, 1917, 1918, τεῦχος α'β'γ'. ἐγὼ δὲ οὐ μόνον ὑπὲρ ἐμαυτοῦ χάριν ἄγω, ἀλλ' ὑπὲρ ὅλης τῆς ἀρχαιολογικῆς ἐπιστήμης. θαυμασμοῦ γὰρ ἄξιον, τῆς οἰκουμένης σεισμῷ τινι καὶ πυρκαϊᾷ σχεδὸν ἀπολλυμένης ὑμᾶς οὐδέποτε τῶν ἔργων καὶ σπουδῶν πεπαῦσθαι. ἡ δὲ τύχη δικαίως οὐκ ἀποστατεῖ· φιλέλλην δ' ὢν ἐγὼ μάλιστα χαίρω, διότι ἡ νέα Ἑλλὰς ἐφ' ὅσον προβαίνει τὴν ἐκ πατέρων Ἑλληνικὴν χώραν ἐλευθεροῦσα, εὐθέως καὶ τῶν ὑπὸ γῆς ἀποκειμένων μνημείων κήδεται, ἡ δὲ μήτηρ Γῆ τὴν τοιαύτην φιλοπονίαν θησαυροῖς ἀμείβεται ἀπροσδοκήτοις, οἷοι ἤδη ἐκ Νικοπόλεως εἰς φῶς ἀνῆλθον, ἄλλα τε παρ' ὑμῖν ἕτοιμα εἶναι ἐλπίζω.

Μόνον οὐχὶ πεντήκοντα ἔτη ἐστίν, ἐξ οὗ τὸ πρῶτον Ἀθήναζε ἦλθον, ζηλωτὴς ἐκ παιδὸς γενόμενος τοῦ Ἑλληνισμοῦ. ἐπάτησα τότε τὸ ἔδαφος ὑφ' ᾧ ἐκρύπτοντο Μυκῆναι, Ὀλυμπία, Δελφοί, τὸ ἐπ' Ἐπιδαύρῳ Ἱερόν. ἀνέστη ταῦτα τὰ κάλλη. ἀλλ' οὐ μόνον τὰ ἀρχαῖα τοσαύτην ἐποιήσατο ἐπίδοσιν. ποία γὰρ ἦν τότε τοῦ Πειραιῶς, ποία τοῦ ἄστεως ἡ πρόσοψις; ἡ δὲ Σπάρτη, ἡ Ὀλυμπία σχεδὸν ἐδόκουν ἀπρόσιτοι εἶναι. νῦν δὲ ὑπὲρ τὰ Ἀμερικανικὰ προὔκοψε πάντα καὶ τάχει καὶ λαμπρότητι. ἐμοὶ μὲν οὖν ἰδεῖν τὴν ἱερὰν καὶ φιλτάτην Ἑλλάδα ἡ Μοῖρα οὐ συγχωρήσει· ἡ δὲ ψυχὴ περὶ πάντα τὰ ἱερὰ περινοστεῖ, οὐδὲ μαραίνεταί ποτε ὁ πόθος.

Τοιγαροῦν γέγηθα τῷ δώρῳ χάριν ἄγω τοῖς δωρήσασι συναδέλφοις οὐδὲ μήποτε παύσομαι τῇ τ' ἀρχαίᾳ τῇ τε νέᾳ Ἑλλάδι τὴν πίστιν διατηρῶν.

*Ulrich von Wilamowitz Moellendorff.*

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
http://digi.ub.uni-heidelberg.de/diglit/prakt1920/0208
© Universitätsbibliothek Heidelberg
gefördert durch die DFG